# [Declamatio amatoria - suite]

### Auteur : Foucault, Michel

## Présentation de la fiche

Coteb023_f0970
SourceBoite_023-26-chem | Démosthène et [... ?]
LangueFrançais
TypeFicheLecture
RelationNumérisation d'un manuscrit original consultable à la BnF, département des Manuscrits, cote NAF 28730

## Références éditoriales

Éditeuréquipe FFL (projet ANR *Fiches de lecture de Michel Foucault*) ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle).
Droits

- Image : Avec l'autorisation des ayants droit de Michel Foucault. Tous droits réservés pour la réutilisation des images.
- Notice : équipe FFL ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l'Identique 3.0 (CC BY-SA 3.0 FR).

Notice créée par équipe FFL Notice créée le 19/03/2021 Dernière modification le 23/04/2021

---

970



τέρους καιροὺς παραδώσειν, συντόμως δ' εἰπεῖν οὐδὲ νῦν οὐδὲν κωλύσει περὶ αὐτῆς. Ἓν οὖν πρῶτον ἐκεῖνό σε δεῖ καταμαθεῖν ἀκριβῶς, ὅτι πᾶσα μὲν παιδεία δι' ἐπιστήμης καὶ μελέτης τινὸς συνέστηκεν, ἡ δὲ φιλοσοφία καὶ μᾶλλον τῶν ἄλλων. ὅσῳ γὰρ ἀκριβεστέρους ἔχει τοὺς ἐφεστῶτας, τοσούτῳ κάλλιον αὐτὴν συγκεῖσθαι προσήκει. (41) Καίτοι τί ποτ' ἂν βουληθείημεν, τῆς μὲν διανοίας ἐπὶ τοῦ λέγειν καὶ βουλεύεσθαι τεταγμένης, τῆς δὲ φιλοσοφίας ἑκατέρου τούτων ἐμπειρίαν παραδιδούσης, μὴ ταύτην κατασχεῖν τὴν πραγματείαν δι' ἧς ἀμφοτέρων τούτων ἐγκρατῶς ἕξομεν; τότε γὰρ εἰκὸς καὶ τὸν βίον ἡμῶν μεγίστην ἐπίδοσιν λαβεῖν, ὅταν τῶν κρατίστων ὀρεγόμενοι τὰ μὲν διδακτὰ τέχνῃ τὰ δὲ λοιπὰ γυμνασίᾳ καὶ συνηθείᾳ κατασχεῖν δυνηθῶμεν. (42) Οὐ γὰρ δήπου τοῦτό γ' ἔστιν εἰπεῖν, ὡς οὐδὲν πρὸς τὸ φρονεῖν εὖ παρὰ τὴν ἐπιστήμην διαφέρομεν ἀλλήλων. ὅλως μὲν γὰρ ἅπασα φύσις βελτίων γίγνεται παιδείαν προσλαβοῦσα τὴν προσήκουσαν, πολὺ
1414 δὲ μάλισθ' ὅσαις ἐξ ἀρχῆς εὐφυέστερον τῶν ἄλλων ἔχειν ὑπῆρξε. τοῖς μὲν γὰρ αὑτῶν μόνον βελτίοσι γίγνεσθαι, τοῖς δὲ καὶ τῶν ἄλλων συμβαίνει διενεγκεῖν. (43) Εὖ δ' ἴσθι τὴν μὲν ἐκ τῶν πράξεων ἐμπειρίαν γιγνομένην σφαλερὰν οὖσαν καὶ πρὸς τὸν λοιπὸν βίον ἀχρήστως ἔχουσαν, τὴν δ' ἐκ τοῦ φιλοσοφεῖν παιδείαν πρὸς ἅπαντα ταῦτ' εὐκαίρως συγκεκραμένην. Καίτοι τινὲς ἤδη καὶ δι' εὐτυχίαν πραγμάτων γυμνασθέντες ἐθαυμάσθησαν. σοὶ δὲ προσήκει τούτων μὲν καταφρονεῖν σαυτοῦ δ' ἐπιμέλειαν ἔχειν. οὐ γὰρ αὐτοσχεδιάζειν ἀλλ' ἐπίστασθαί σε δεῖ περὶ τῶν μεγίστων, οὐδ' ἐπὶ τῶν καιρῶν μελετᾶν, ἀλλ' ἀγωνίζεσθαι καλῶς ἐπίστασθαι. (44) Νόμιζε δὲ πᾶσαν μὲν τὴν φιλοσοφίαν μεγάλα τοὺς χρωμένους ὠφελεῖν, πολὺ δὲ μάλιστα τὴν περὶ τὰς πράξεις καὶ τοὺς πολιτικοὺς λόγους ἐπιστήμην. τῆς γὰρ γεωμετρίας καὶ τῆς ἄλλης τῆς τοιαύτης παιδείας ἀπείρως μὲν ἔχειν αἰσχρόν, ἄκρον δ' ἀγωνιστὴν γενέσθαι ταπεινότερον τῆς σῆς ἀξίας, ἐν ἐκείνῃ δὲ τὸ μὲν διενεγκεῖν ζηλωτόν, τὸ δ' ἄμοιρον γενέσθαι παντελῶς καταγέλαστον. (45) Γνοίης δ' ἂν ἐξ ἄλλων τε πολλῶν καὶ παραθεωρήσας τοὺς πρὸ σαυτοῦ γεγενημένους ἐνδόξους ἄνδρας. Τοῦτο μὲν Περικλέα τὸν συνέσει πλεῖστον τῶν καθ' αὑτὸν διενεγκεῖν δόξαντα πάντων ἀκούσῃ πλησιάσαντ' Ἀναξαγόρᾳ τῷ Κλαζομενίῳ καὶ μαθητὴν ἐκείνου γενόμενον ταύτης τῆς δυνάμεως μετασχόντα. τοῦτο δ' Ἀλκιβιάδην εὑρήσεις φύσει μὲν πρὸς ἀρετὴν πολλῷ χεῖρον διακείμενον, καὶ τὰ
1415 μὲν ὑπερηφάνως τὰ δὲ ταπεινῶς τὰ δ' ὑπεράκρως ζῆν προῃρημένον, ἀπὸ δὲ τῆς Σωκράτους ὁμιλίας πολλὰ μὲν ἐπανορθωθέντα τοῦ βίου, τὰ δὲ λοιπὰ τῷ μεγέθει τῶν ἄλλων ἔργων ἐπικρυψάμενον. (46) Εἰ δὲ δεῖ μὴ παλαιὰ λέγοντας διατρίβειν, ἔχοντας ὑπογυιοτέροις παραδείγμασι χρῆσθαι, τοῦτο μὲν Τιμόθεον οὐκ ἐξ ὧν νεώτερος ὢν ἐπετήδευσεν, ἀλλ' ἐξ ὧν Ἰσοκράτει συνδιατρίψας ἔπραξε, μεγίστης δόξης καὶ πλείστων τιμῶν εὑρήσεις ἀξιωθέντα. τοῦτο δ' Ἀρχύταν τὴν Ταραντίνων

breviter eam attingere nec nunc quidquam prohibebit. Illud igitur in primis est diligenter animadvertendum: quum omnem disciplinam et scientia et exercitatione quadam contineri, tum philosophiam magis etiam ceteris. nam quanto diligentiores magistros habet, tanto pulchrius esse constitutam par est. (41) Atqui quum in dicendo et deliberando mentis versetur officium, philosophia autem hujus utrisque rei peritiam tradat; cur eum laborem, qui nos horum utriusque compotes facit, persequi nolimus? tum enim consentaneum est etiam vitæ nostræ maxima fore incrementa, quum et quæ doceri possunt, artis adminiculo, et cetera exercitatione et usu obtinuerimus. (42) Neque enim hoc dici profecto potest, nihil esse in scientia momenti ad hoc, ut aliis præstemus sapientia. nam quum omne ingenium, si apta institutio accedat, fit melius, tum vero ea multo maxime, quæ a primo statim ortu dexteriora ceteris exstiterunt. illi enim sese duntaxat superant, hi etiam aliis antecellunt. (43) Scito autem agendo partam peritiam esse imbecillam et ad reliquam vitam inutilem, philosophiæ autem institutionem ad omnia hæc opportune contemperatam. Etsi autem quidam etiam propter fortunæ favorem in admiratione fuerunt; te tamen decet hos contemnere et tui ipsius curam gerere. neque enim maximæ res temere tibi aggrediendæ, sed scienter suscipiendæ sunt, nec in ipso demum gerendarum rerum articulo meditari, sed præclare certandi peritum esse. (44) Existimabis autem quum omnem philosophiam, si quis utatur, prodesse multum, tum vero inprimis eam doctrinam, quæ quid in republica et agendum et dicendum sit. nam geometriæ ac similium artium esse rudem turpe id quidem est, sed summum earum fieri artificem infra excellentiæ tuæ dignitatem, at in illa excellere facultate, præclarum, non esse institutum, prorsus est deridendum. (45) Quod et ex multis aliis rebus intelligitur, et ex eo, si illustres ante tuam ætatem viros spectes et conferas. Nam et Periclem, cujus sapientia temporibus illis præ omnibus celebrata est, familiarem fuisse Anaxagoræ Clazomenio atque illo doctore vim eam consecutum esse audies. et Alcibiadem ingenio quidem ad virtutem multo deteriore, qui partim superbe, partim abjecte, partim immodice vivere instituerat, reperies propter Socratis institutionem multa in sua vita correxisse, cetera magnitudine rerum gestarum occultasse. (46) Sin veteribus commemorandis immorandum non est, quum recentiora exempla in promptu sint; tum Timotheum non iis rebus, quibus adolescens studuit, sed propter ea quæ post institutionem Isocratis gessit, et summam gloriam et amplissimos honores merito esse consecutum deprehendes. tum Archytam, qui Tarentinam rempublicam adeo præclare

BnF MSS

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/16903?context=pdf

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/16903?context=pdf